ἀπηλλαγμένον πολλῶν πραγμάτων, ἢ γῆν πριάμενον ἐκ
τῶν προσιόντων τοὺς παῖδας τρέφειν· καὶ ὁπότερα τού-
των ἐποίησεν, οὐδενὸς ἂν ἧττον Ἀθηναίων πλούσιοι
ἦσαν. νῦν δέ μοι δοκεῖ οὐδεπώποτε διανοηθῆναι ὡς
φανερὰν καταστήσων τὴν οὐσίαν, ἀλλ' ὡς αὐτὸς ἕξων τὰ
τούτων, ἡγούμενος δεῖν τὴν αὑτοῦ πονηρίαν κληρονό-
μον εἶναι τῶν τοῦ τεθνεῶτος χρημάτων. ὃ δὲ πάντων 24
δεινότατον, ὦ ⟨ἄνδρες⟩ δικασταί· οὗτος γὰρ συντριη-
ραρχῶν Ἀλέξιδι τῷ Ἀριστοδίκου, φάσκων δυοῖν δεούσας
πεντήκοντα μνᾶς ἐκείνῳ συμβαλέσθαι, τὸ ἥμισυ τούτοις
ὀρφανοῖς οὖσι λελόγισται, οὓς ἡ πόλις οὐ μόνον παῖδας
ὄντας ἀτελεῖς ἐποίησεν, ἀλλὰ καὶ ἐπειδὰν δοκιμασθῶσιν
ἐνιαυτὸν ἀφῆκεν ἁπασῶν τῶν λητουργιῶν. οὗτος δὲ πάπ-
πος ὢν παρὰ τοὺς νόμους τῆς ἑαυτοῦ τριηραρχίας παρὰ
τῶν θυγατριδῶν τὸ ἥμισυ πράττεται. καὶ ἀποπέμψας εἰς 25
τὸν Ἀδρίαν ὁλκάδα δυοῖν ταλάντοιν, ὅτε μὲν ἀπέστελ-
λεν, ἔλεγε πρὸς τὴν μητέρα αὐτῶν ὅτι τῶν παίδων ὁ
κίνδυνος εἴη, ἐπειδὴ δὲ ἐσώθη καὶ ἐδιπλασίασεν, αὑτοῦ
τὴν ἐμπορίαν ἔφασκεν εἶναι. καίτοι εἰ μὲν τὰς ζημίας
τούτων ἀποδείξει, τὰ δὲ σωθέντα τῶν χρημάτων αὐτὸς
ἕξει, ὅποι μὲν ἀνήλωται τὰ χρήματα, οὐ χαλεπῶς εἰς τὸν
λόγον ἐγγράψει, ῥᾳδίως δὲ ἐκ τῶν ἀλλοτρίων αὐτὸς
πλουτήσει. καθ' ἕκαστον μὲν οὖν, ὦ ⟨ἄνδρες⟩ δικασταί, 26
πολὺ ἂν ἔργον εἴη πρὸς ὑμᾶς λογίζεσθαι· ἐπειδὴ δὲ μό-
λις παρ' αὐτοῦ παρέλαβον τὰ γράμματα, μάρτυρας ἔχων
ἠρώτων Ἀριστόδικον τὸν ἀδελφὸν τὸν Ἀλέξιδος (αὐτὸς
γὰρ ἐτύγχανε τετελευτηκώς), εἰ ὁ λόγος αὐτῷ εἴη ⟨ὁ⟩
τῆς τριηραρχίας· ὁ δὲ ἔφασκεν εἶναι, καὶ ἐλθόντες οἴκαδε
ηὕρομεν Διογείτονα τέτταρας καὶ εἴκοσι μνᾶς ἐκείνῳ
συμβεβλημένον εἰς τὴν τριηραρχίαν. οὗτος δὲ ἀπέδειξε 27
δυοῖν δεούσας πεντήκοντα μνᾶς ἀνηλωκέναι, ὥστε τού-